www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ

# ΠΡΟΦΗΤΟΥ ΙΩΗΛ

ΠΟΙΗΘΕΙΣΑ ΥΠΟ ΙΩΗΛ ΦΡΑΓΚΑΚΟΥ,
ΑΡΧΙΔΙΑΚΟΝΟΥ, ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΗ
ΤΟ ΠΡΩΤΟΝ ΠΡΟΝΟΙΑ, ΤΟΥ ΣΕΒ.
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΔΕΣΣΗΣ, ΠΕΛΛΗΣ
ΚΑΙ ΑΛΜΩΠΙΑΣ ΚΑΛΛΙΝΙΚΟΥ.

ΙC ΧC
ΝΙ ΚΑ

ΕΝ ΑΘΗΝΑΙΣ
1977

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ ΙΩΗΛ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ

# ΠΡΟΦΗΤΟΥ ΙΩΗΛ

ΠΟΙΗΘΕΙΣΑ ΥΠΟ ΙΩΗΛ ΦΡΑΓΚΑΚΟΥ,
ΑΡΧΙΔΙΑΚΟΝΟΥ, ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΗ
ΤΟ ΠΡΩΤΟΝ ΠΡΟΝΟΙΑ, ΤΟΥ ΣΕΒ.
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΔΕΣΣΗΣ, ΠΕΛΛΗΣ
ΚΑΙ ΑΛΜΩΠΙΑΣ ΚΑΛΛΙΝΙΚΟΥ.

IC XC
NI KA

ΕΝ ΑΘΗΝΑΙΣ
1977

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ.Τ. 140)

ΑΡΙΘ. Πρωτ. Δ.1270/Ί.Σ.5760 — ΑΘΗΝΗΣΙ ΤΗ 6η Ἰουνίου 1977

Διεκπ. 1023 — ΘΕΜΑ:

Πρός
τόν Σεβ. Μητροπολίτην
Ἐδέσσης, Πέλλης καί Ἀλμωπίας
Κύριον ΚΑΛΛΙΝΙΚΟΝ

Ἔδεσσαν

---

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἔχοντες ὑπ᾽ὄψιν τήν ὑποβληθεῖσαν ἡμῖν διά τοῦ ὑπ᾽ἀρ. Πρωτ. 2698/76 ὑμετέρου ἐγγράφου Ἰ. Ἀκολουθίαν τοῦ Ἁγ. Προφήτου Ἰωήλ, ποιηθεῖσαν ὑπό τοῦ Ἱερολογιωτάτου κ. Ἰωήλ Φραγκάκου, Ἀρχιδιακόνου, ὡς καί τήν σχετικήν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Χίου κ. ΧΡΥΣΟΣΤΟΜΟΥ, ὡς Προέδρου τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας, Συνοδικῇ Ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 4ης ὁδ. μηνός, ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν, καθ᾽ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ᾽ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ καί παρακαλοῦμεν ὅπως κατά τήν τάξιν ὑποβάλητε ἡμῖν πέντε ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἰ. Ἀκολουθίας διά τό Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας.

Ἐπί τούτοις, κατασπαζόμενοι ἐν Κυρίῳ τήν ὑμετέραν Σεβασμιότητα, διατελοῦμεν μετ᾽ἀγάπης

† ὁ Ἀθηνῶν Σεραφείμ, πρόεδρος

Ὁ Ἀρχιγραμματεύς

† Ταλαντίου Ἀμβρόσιος

† Ὁ Ταλαντίου ΑΜΒΡΟΣΙΟΣ .-

ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Κοινοποίησις:

Συνοδικήν Ἐπιτροπήν Θείας Λατρείας
Παρ᾽ἡμῖν

www.tezaurliturgic.ro

## ΠΡΟΛΟΓΟΣ

*Ὅτι οἱ ἅγιοι Προφῆται διηκόνησαν εἰς τὸ μέγα ἔργον τῆς λυτρώσεως τοῦ ἀνθρωπίνου γένους εἶναι γνωστόν. «Ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν» (Β΄ Πέτρ. 1, 21) καὶ «προκατήγγειλαν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν». Συνεπεῖς εἰς τὴν ἀποστολήν των ἐδοκίμασαν διωγμούς. Ἀπετέλεσαν φωτεινὰ ἄστρα ἐν μέσῳ τῆς σκοτεινῆς προχριστιανικῆς ἐποχῆς.*

*Παρὰ ταῦτα δὲν εἶναι πάντες γνωστοί. Περισσότερον ἄγνωστοι εἶναι οἱ λεγόμενοι «ἐλάσσονες», μεταξὺ τῶν ὁποίων καὶ ὁ Προφήτης Ἰωήλ, ὁ προφητεύσας τὴν ἔκχυσιν τοῦ Παναγίου Πνεύματος.*

*Κατ᾿ ἐξαίρεσιν μοναδικήν, θά ἔλεγέ τις, τιμᾶται ὁ Προφήτης Ἰωὴλ ἰδιαιτέρως ἐν Καλαμάτᾳ, ὅπου ὑπάρχει Ἡσυχαστήριον ἐπ᾿ ὀνόματι τοῦ ἐνδόξου Προφήτου. Τό Ἡσυχαστήριον τοῦτο ἱδρύθη ὑπὸ τοῦ μακαρίᾳ τῇ λήξει γενομένου ἀειμνήστου π. Ἰωὴλ Γιαννακοπούλου, τῆς συγχρόνου αὐτῆς προφητικῆς μορφῆς.*
*Ὁ μακαριστὸς Κληρικὸς οὐ μόνον τὸ ὄνομα τοῦ Προφήτου ἔλαβεν, ἀλλὰ καὶ «τοῖς ἴχνεσιν αὐτοῦ ἐπηκολούθησεν». Ἐν τῷ Ἡσυχαστηρίῳ καὶ τῇ πόλει τῆς Καλαμάτας πανηγυρίζεται ἡ μνήμη τοῦ ἁγίου Προφήτου Ἰωὴλ καὶ συμβάλλει εἰς τὸν πανηγυρικότερον ἑορτασμὸν ὁ ἐκεῖ ἀγαπητὸς ἐν Χριστῷ ἀδελφός, ὁ λόγιος καὶ ρέκτης Μητροπολίτης Μεσσηνίας κ. Χρυσόστομος.*

*Ἐπιθυμῶν νὰ τιμήσω τὸν ἔνδοξον Προφήτην καὶ νὰ ἐνθυμοῦμαι τὴν ὑψικάρηνον ἐκείνην δρῦν, τὸ μέγα ἀνάστημα, τὸν λαμπρὸν Ἱερωμένον τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, τὸν φιλόπονον ἐργάτην τοῦ θείου Ἀμπελῶνος, τὸν ἑρμηνευτὴν τῶν Θείων Γραφῶν, τὸν σεβαστὸν καὶ ἀγαπητὸν π. Ἰωὴλ Γιαννακόπουλον, ἔδωκα τὸ προφητικὸν τοῦτο ὄνομα εἰς ἕνα τῶν Ἱεροκηρύκων τῆς Ἱερᾶς Μητροπό-*

www.tezaurliturgic.ro



*λεως καὶ παρεκάλεσα τοῦτον, ἔχοντα τὸ χάρισμα «ὕμνους ὑφαίνειν», ἵνα ποιήσῃ ἱερὰν Ἀκολουθίαν τοῦ Προφήτου.*

*Οὗτος (ὁ Ἀρχιδιάκονος π. Ἰωὴλ Φραγκάκος) ἐποίησεν τὴν Ἀκολουθίαν, ἐγκριθεῖσαν ἐν συνεχείᾳ ὑπὸ τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.*

*Ἐπιβάλλεται εἰς τὰς ἡμέρας μας, ὅπως προβάλλωνται αἱ Προφητικαὶ μορφαί. Φωτισμένη θεωρεῖται ἡ ἐποχή μας ἀπὸ πολλούς. Καὶ ὅμως τὴν σκοτίζουν αἱ σκοτειναὶ ὑλιστικαὶ ἀντιλήψεις. Ἔχομεν ἀνάγκην προφητικῆς φωνῆς. Πρέπει νὰ ἀκούωνται προφητικὰ κηρύγματα καὶ νὰ ἐμφανίζωνται πρόσωπα μὲ προφητικὴν ζωήν.*

*Ἂς παρακαλέσωμεν τὸν Ἅγιον Θεὸν νὰ ἀναπαύσῃ ἐν σκηναῖς δικαίων τὸν μακαριστὸν π. Ἰωὴλ καὶ νὰ ἐκβάλῃ ἐργάτας εἰς τὸν Ἀμπελῶνα Του μὲ προφητικὴν βιοτήν.*

*Ἐν τῷ ἱερῷ Ἐπισκοπείῳ Ἐδέσσης τῇ 25η Ἰουνίου 1977*



www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ ΙΩΗΛ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε Ἐκέκραξα ἱστῶμεν Στίχους ς´ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ´. Τί ὑμᾶς καλέσωμεν ἅγιοι.

Ποίοις ἐγκωμίοις προσείπωμεν, ἀνυμνοῦντες ἐπαξίως, τὸν προφήτην Ἰωήλ, ὃν τὸ πνεῦμα τοῦ Κυρίου ἐπεσκίασε λαμπρῶς, καὶ ἄνω θεαμάτων τὴν ἐξήγησιν, ἀκτίστοις ἐνεργείαις ἐδωρήσατο· δι᾽ ὃ ἡμῶν τὴν διάνοιαν καὶ τὴν καρδίαν ὁ πάντιμος, σοφίζει νῦν, ταῖς λιταῖς ὁ θεοφώτιστος.

Σάλπιγξ ἀνεδείχθης θεόφθογγος, ἐν Σιὼν καταβοῶσα τοῦ Κυρίου τὰς βουλάς, ὅτι σκότους ἡ ἡμέρα καὶ νεφέλης ὁ καιρός, ἐγγίζει καὶ ὡς ὄρθρος ἐκχυθήσεται, τοῖς πᾶσιν ἐὰν μὴ μετανοησωσι, καὶ διαρρήξωσι τάχιστα, τῶν καρδιῶν τὰ ἱμάτια, ὡς ἔνδοξε, Ἰωὴλ ἐθεσμοδότησας.

Θάρσει τῶν βροτῶν ἡ ὁμήγυρις, ὁ προφήτης τοῦ Κυρίου καταγγέλλει τὰ φαιδρά, ὅτι ἔδωκε τὴν χάριν, ὁ τῶν πάντων χορηγός, τοῖς τέκνοις τῆς Σιὼν ὁ ὑπερύμνητος, καὶ ἤνθησεν ἡ ἔρημος ἡ ἄγονος, καὶ ἐπ᾽ ἐσχάτων πλησθήσονται, τῆς παναγίας ἐκχύσεως, τοῦ Πνεύματος, οἱ πιστοὶ καὶ προφητεύσουσι.

Δεῦτε προφητῶν θεῖος σύλλογος, καὶ ἀνδρῶν πνευματοφόρων, ὁ τρισόλβιος χορός, σὺν τοῖς θείοις Ἀποστόλοις, εὐφημήσατε ὁμοῦ,

www.tezaurliturgic.ro



κινύραν Παρακλήτου τὴν εὐάρμοστον, τόν μέγαν Ἰωὴλ τὸν θεοφόρητον καὶ μετ' αὐτοῦ δυσωπήσατε,πρεσβευτικῶς θεοδόξαστοι, ὑπὲρ ἡμῶν, τὸν Χριστὸν τὸν παντευλόγητον.

Γλῶσσαι πυρὸς ἐξεχύθησαν, ἐπὶ πᾶσαν σάρκα πάλαι,ὡς προέφης Ἰωὴλ, καὶ τὴν ἄτολμον χορείαν ἐνευρώσαντο σφοδρῶς, ἁγίων Ἀποστόλων, θεοκίνητε, διόπερ θεολόγοι ἀνεδείχθησαν, οἱ ἁλιεῖς ἰδιωτεύοντες, καὶ φιλοσόφων τὸν θίασον, ἠδάφισαν, συνεργείᾳ θείας χάριτος.

Νοῦς πεφωτισμένος γενόμενος, ἐνεδύθης λαμπροτάτην καὶ αἰγλήεσσαν στολὴν, τοῦ φωτὸς τοῦ οὐρανίου, θεοφάντορ Ἰωὴλ, καὶ στέφος τὸ παμποίκιλτον ἀνέλαβες, τῶν θείων δωρεῶν ἐκ τοῦ Παντάνακτος· δι' ὃ ὁρῶ τὸ ἀπόρρητον, τῆς εὐφροσύνης σου πέλαγος, καὶ κράζω σοι,ταῖς λιταῖς σου μὲ καταύγασον.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Προφητικὴ πανήγυρις σήμερον πιστοί, ἄγγελοι καὶ ἄνθρωποι, μετ' ἀλλήλων χορεύσατε· συνήγαγε γὰρ ἡμᾶς, ὁ ἔνδοξος προφήτης Ἰωὴλ. Ἡ πάγχρυσος τοῦ Κυρίου λύρα, ὁ αὐλὸς τῆς ἀληθείας, ὁ ταῖς ἐπιπνοίαις τοῦ Παρακλήτου ἀνακρουόμενος, ἡ λαμπηδὼν τοῦ ἡλίου τῆς Δικαιοσύνης, τοῦ πνευματικοῦ στερεώματος τὸ ἄδυτον ἄστρον, δι' οὗ ὁ παλαιὸς τοῦ νόμου λαὸς ἐφωτίσθη. Τῆς χάριτος διδάσκαλος καὶ μεγαλοφωνότατος κήρυξ. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Τίς μὴ μακαρίσει σε Παναγία...
Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

www.tezaurliturgic.ro



## Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα.
(Κεφ. 2, 1 - 13)

Σαλπίσατε σάλπιγγι ἐν Σιών, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ συγχυθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν γῆν, διότι πάρεστιν ἡμέρα Κυρίου, ὅτι ἐγγύς, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης. Ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρός· ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος καὶ μετ᾿ αὐτὸν οὐ προστεθήσεται ἕως ἐτῶν εἰς γενεὰς γενεῶν. Τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ· ὡς παράδεισος τρυφῆς ἡ γῆ πρὸ προσώπου αὐτοῦ, καὶ τὰ ὄπισθεν αὐτοῦ πεδίον ἀφανισμοῦ, καὶ ἀνασωζόμενος οὐκ ἔσται αὐτῷ. Ὡς ὅρασις ἵππων ἡ ὄψις αὐτῶν, καὶ ὡς ἱππεῖς οὕτως καταδιώξονται· ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιούσης καλάμην καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον. Ἀπὸ προσώπου αὐτοῦ συντριβήσονται λαοί, πᾶν πρόσωπον ὡς πρόσκαυμα χύτρας. Ὡς μαχηταὶ δραμοῦνται καὶ ὡς ἄνδρες πολεμισταὶ ἀναβήσονται ἐπὶ τὰ τείχη, καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται, καὶ οὐ μὴ ἐκκλίνουσι τὰς τρίβους αὐτῶν, καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται, καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται καὶ ἐν τοῖς βέλεσιν αὐτῶν πεσοῦνται καὶ οὐ μὴ συντελεσθῶσι. Τῆς πόλεως ἐπιλήψονται καὶ ἐπὶ τῶν τειχέων δραμοῦνται καὶ ἐπὶ τὰς οἰκίας ἀναβήσονται καὶ διὰ θυρίδων εἰσελεύσονται ὡς κλέπται. Πρὸ προσώπου αὐτῶν συγχυθήσεται ἡ γῆ καὶ σεισθήσεται ὁ οὐρανός, ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ τὰ ἄστρα δύσουσι τὸ φέγγος αὐτῶν. Καὶ Κύριος δώσει φωνὴν αὐτοῦ, ὅτι πολὺ ἐστι σφόδρα ἡ παρεμβολὴ αὐτοῦ, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ· διότι μεγάλη ἡ ἡμέρα Κυρίου, ἐπιφανὴς σφόδρα, καὶ τὶς ἔσται ἱκανὸς αὐτῇ; Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ὑμῶν· ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ· καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν καὶ μὴ τὰ ἱμάτια ὑμῶν καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστί, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις.

www.tezaurliturgic.ro



## Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα.
(Κεφ. 3, 1 - 5)

Καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται· καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. Καὶ δώσω τέρατα ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται· ὅτι ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καθότι εἶπε Κύριος, καὶ εὐαγγελιζόμενοι, οὓς Κύριος προσκέκληται.

## Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα
(Κεφ. 4, 16 - 21)

Ὁ Κύριος ἐκ Σιὼν ἀνακράξεται καὶ ἐξ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανός καὶ ἡ γῆ· ὁ δὲ Κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχύσει τοὺς υἱοὺς Ἰσραήλ. Καὶ ἐπιγνώσεσθε, διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν ὁ κατασκηνῶν ἐν Σιὼν ὄρει ἁγίῳ μου· καὶ ἔσται Ἱερουσαλὴμ ἁγία,καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι᾽ αὐτῆς οὐκέτι. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποστάξει τὰ ὄρη γλυκασμόν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται καὶ ποτιεῖ τὸ χειμάρρουν τῶν σχοίνων. Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται, καὶ ἡ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ ἔσται ἐξ ἀδικιῶν υἱῶν Ἰούδα, ἀνθ᾽ ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. Ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικηθήσεται καὶ Ἱερουσαλὴμ εἰς γενεὰς γενεῶν. Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν καὶ οὐ μὴ ἀθωώσω, καὶ Κύριος κατασκηνώσει ἐν Σιών.

www.tezaurliturgic.ro



Εἰς τὴν Λιτήν. Ἰδιόμελα.
Ἦχος α΄.

Τὴν ἐτήσιον μνήμην τελοῦντες, τοῦ σοῦ ἐνδόξου ὀνόματος, Ἰωὴλ ἀξιάγαστε, ὡς ἔμψυχον κιθάραν τοῦ Παρακλήτου σὲ γεραίρομεν. Σὺ γὰρ τὴν ἀνέκφραστον θεωρίαν τοῦ κάλλους τοῦ οὐρανίου πυρὸς πᾶσιν ἐφανέρωσας καὶ μετανοίας διάγειν καιρὸν τοῖς βροτοῖς ἐπέταξας. Νῦν οὖν τῷ Χριστῷ συναυλιζόμενος αὐτὸν δυσώπησον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας, συνθήκην μετανοίας μετ᾽ ἐμοῦ συνάπτοντες· ὁ τῶν ὅλων ποιητής, διὰ σοῦ τῶν μερόπων τῇ πληθύι διεμήνυσε· καὶ τότε τοῦ προσώπου μου τὸ κάλλος, ὅ ἐστι κοινὸν τῶν σεσωσμένων βραβεῖον πάντες ἀπολαύσετε· ὅθεν σοῦ δεόμεθα Ἰωὴλ θαυμαστέ, ἱκέτευσον τὸν Κτίστην ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ΄.

Τῆς ἐσχάτης σάλπιγγος ἠχούσης, ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα, μεγαλοφώνως ἔφης αἰνιττόμενος. Καὶ τότε οἱ νεκροὶ ἀναστήσονται καὶ πολλοὶ ἀπολοῦνται. Διὸ Προφῆτα πανσεβάσμιε, μὴ διαλίπῃς πρεσβεύων Χριστῷ τῷ Θεῷ, τοῦ αἰωνίζοντος σκότους, ρυσθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν ἐπικαλουμένων τὸ ὄνομα Κυρίου.

Δόξα Πατρί. Ἦχος δ΄.

Τοῦ Ἁγίου Πνεύματος κατερχομένου, ἡ ψυχὴ ἡμῶν καθαίρεται καὶ τῶν παθῶν ἀλλοτριοῦται. Ὁ νοῦς ἀνεπιθόλωτος γίνεται, καὶ ἡ καρδία καταγώγιον τῆς Ἁγίας Τριάδος κατασκευάζεται. Τότε ὁ πιστὸς τὴν ἀπλανῆ φωτοφάνειαν τοῦ Θεοῦ γεύεται καὶ ὡς ἥλιος ἐκλάμπει. Ταύτην τὴν μεγαλοδωρεὰν τοῦ Χριστοῦ ἐν ἔτεσιν ἀρχαίοις Ἰωὴλ προηγόρευσας· δι᾽ ὅ ἅπαντες σήμερον

www.tezaurliturgic.ro



χρεωστικῶς τελοῦντες τὴν σὴν μνήμην σοῦ δεόμεθα· Πρέσβευε Χριστῷ τῷ Θεῷ ἀξιωθῆναι καὶ ἡμᾶς ἰδεῖν τὸ φῶς τοῦ προσώπου Αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων τούς δούλους...
Εἰς τὸν Στίχον Στιχηρὰ προσόμοια.
Ἦχος α´ Πανεύφημοι μάρτυρες.

Ὑπὲρ τοῦ ἡλίου τὴν βολήν, ἔλαμψας πανάριστε, ἐνοπτριζόμενος πρόπαλαι, φῶς τὸ ἀπρόσιτον, Παρακλήτου χάριν, καὶ ναμάτων ἔκχυσιν, καὶ ταῦτα Ἰωὴλ ἀπεκάλυψας, βροτῶν συστήμασι, τοῖς ἐν σκότει ἀξιάγιαστε, καθημένοις, πολλῶν παραβάσεων.

Στίχ. Μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς Προφήταις μου μή πονηρεύεσθε.

Δακρύων κρουνοῖς καὶ κοπετοῖς, καὶ γονάτων κάμψεσι, καὶ ἐν νηστείαις τὸν ἄνομον, λαὸν ἐκάλεσας, Ἰωὴλ εἰς θεῖον μετανοίας δίαυλον, κραυγάζων σὺν τοῖς θύταις τὰ ρήματα· Κριτὰ καὶ Κύριε, τοῦ λαοῦ σου φεῖσαι Εὔσπλαγχνε, καὶ ἐκ βλάβης αὐτὸν διατήρησον.

Στίχ. Σὺ εἶ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Φρικτῆς ἐμφανείας σου Χριστὲ, τῆς Δευτέρας πρόγνωσιν,ὁ Ἰωὴλ εἰς τὰ πέρατα, προεφανέρωσε, καὶ ἡλίου σβέσιν καὶ σελήνης σκότασιν, καὶ σύγχυσιν τῆς γῆς προηγόρευσε· διὸ κραυγάζομεν, ταῖς πρεσβείαις τοῦ Προφήτου σου,τοὺς σοὺς δούλους Σωτὴρ διαφύλαξον.

Δόξα Πατρὶ. Ἦχος πλ. δ´.

Ἀσματικὴν χορείαν κροτήσωμεν σήμερον, ὦ φιλέορτοι,ἐπὶ τῇ θείᾳ μνήμῃ τοῦ ἐνδόξου προφήτου Ἰωήλ· οὗτος γὰρ τὸν δυσσεβῆ καὶ ἐστερημένον τῆς ὄντως γνώσεως λαὸν ἐφώτισε, μαρμα-

www.tezaurliturgic.ro



ρυγαῖς θεοδότοις, καὶ συναρίθμιος ἁγίων γεγονώς, τῶν Οὐρανῶν τὴν κληρουχίαν ἐκέρδησε· διὸ πρὸς αὐτὸν βοήσωμεν λέγοντες· Πάτερ θεόπεμπτε, πρέσβευε Χριστῷ τῷ Θεῷ ἐξανάψαι τῆς ψυχῆς ἡμῶν τὴν νοερὰν λαμπάδα καὶ χαρίσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου...

Τὸ Νῦν ἀπολύεις. Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. α Τὸν Συνάναρχον Λόγον.

Παρακλήτου τὴν ἔκχυσιν ἐφανέρωσας, ὡς ὁ προφήτης Κυρίου καὶ μυστολέκτης λαμπρός, ἐν ἀρχαίοις Ἰωὴλ λαλήσας ἔτεσιν· ὅθεν τὴν μνήμην σου σοφέ, οἱ πιστοὶ χαρμονικῶς τιμῶντες ἀναβοῶμεν· μὴ παύσῃ καθικετεύων, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.



www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, τὸ Ἀπολυτίκιον ὡς ἐν τῷ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀπέργασον ταχύ, τῷ ἀπλάστῳ φωτί σου, κατ᾽ ἄμφω ὑγιᾶ καὶ ὡραῖον Σωτήρ μου, καμὲ τὸν ἁμαρτάνοντα, ἐκλεπτύνας φιλάνθρωπε, τῆς κακίας μου, τὸ ἀπροσμέτρητον πάχος· νῦν ὡς πρέσβυν γάρ, τὸν Ἰωὴλ σοὶ προσάγω, Χριστὲ ὑπεράγαθε.

Θεοτοκίον.

Ἀπάτης τῆς δεινῆς τῶν τοῦ βίου ἡδέων, καὶ σκότους κοσμικοῦ ἑλκυσθῆναι Παρθένε, οἱ δοῦλοι σοῦ δεόμεθα, οἱ πολλαῖς παραβάσεσιν, ἀνομήσαντες, μετὰ δακρύων βοῶντες· Χαῖρε Δέσποινα, τῶν γηγενῶν προστασία, καὶ πάντων βοήθεια.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.
Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Προκηρύξας μετάνοιαν Ἰωήλ, ἁμαρτάδων ἐκάθηρας τὸν λαόν, σοφαῖς ὑποθήκαις σου, καὶ νηστείᾳ θεόληπτε· σὺ γὰρ κεκοσμημένος, τῷ κάλλει τῆς χάριτος, ἐποδηγέτεις πάντας, εἰς βίον ἀνέγκλητον. Ὅθεν περιλάμπεις ἀθανάτων τῇ αἴγλῃ, πηγάζων δωρήματα, τοῖς ἐν πίστει αἰνοῦσί σε, προφητῶν ἐγκαλλώπισμα. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Ἐργαστήριον ἔφυς ὑπερφυές, τῆς ἑνώσεως Μῆτερ τῆς θαυμαστῆς, τῶν φύσεων Δέσποινα, τοῦ Ἀδὰμ καὶ τοῦ Πλάσαντος, δι᾽

www.tezaurliturgic.ro



ἧς σκιρτᾷ τὸ γένος βροτῶν καὶ ἀγάλλεται, καὶ τῶν δαιμόνων σμήνη, δεινῶς κατεπτόηται. Ὅθεν σωτηρίας ὡς αἰτίαν οἱ πάντες, παρθένων τὸ τείχισμα καὶ μητέρων ὑπόδειγμα, Παναγία σὲ ἔχομεν. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἐν πίστει, τὸν ἄχραντον τόκον σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Οἱ βουνοὶ ρυήσονται, γάλα προέγνως, καὶ τὰ ὄρη ἅπαντα ἀποσταλάξῃ γλυκασμόν, καί αἱ πηγαὶ ἐκχειλίσουσι, κρουνοὺς ὑδάτων, Χριστοῦ ἐπιφαίνοντος.

Θεοτοκίον.

Η παστὰς ἡ ἔνθεος, παρθενομῆτορ, ἐπεγνώσθης πρόπαλαι, ἐν ᾗ τὴν σάρκα τοῦ Ἀδάμ, πρὸς σωτηρίαν κινούμενος, ἡμῶν τῶν φαύλων, Χριστὸς ἐνυμφεύσατο.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. Μὴ ἅπτεσθε τῶν χριστῶν μου...

Στίχ. Τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Πᾶσα Πνοὴ καὶ Εὐαγγέλιον τῆς ἑορτῆς τοῦ Προφήτου Ἠλιού.

Ὁ Ν΄ ψαλμός.

Δόξα. Ταῖς τοῦ σοῦ Προφήτου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄.

Οὐκ ἂν ἰσχύσω ἐξειπεῖν, εἰ γὰρ μυρίαι γλῶσσαί μοι δοθήσονται, τὰς ἀρρήτους ἐνεργείας τοῦ Ἁγίου Πνεύματος. Τὸν πλοῦτον τῆς Θεολογίας, τῶν ἰάσεων τοὺς κρουνούς, τὰς ὁράσεις καὶ τὰς ὀπτασίας, τῶν υἱῶν καὶ θυγατέρων τοῦ νέου τῆς Χάριτος λαοῦ, ὡς ὁ Ἰωὴλ ὁ προφήτης, ἐπιστοποίησε τῇ προαγορεύσει. Διὸ τῶν γλυκερῶν ρημάτων τῆς προφητείας σου σήμερον μνημονεύοντες σοῦ δεόμεθα· πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Εἶτα τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Καὶ οἱ Κανόνες. Τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου οὗτος, οὗ ἡ ἀκροστιχίς· «Ἀνυμνεῖ Ἰωὴλ θαυμαστὸν προφήτην Ἰωήλ».

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν ὁ παλαιὸς »πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ »τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Ἀκτῖσι θεουργικαῖς λαμπόμενος, ψυχῆς ἐκάθηρας, τὸ ὀπτικὸν παμμάκαρ Ἰωήλ, καὶ λαβὼν τὴν ἐξήγησιν, τῶν μυστηρίων ἔσπευσας, μυσταγωγῆσαι τοὺς συνόντας σοι.

Ναμάτων προφητικῶν γενόμενος, δοχεῖον πάντιμον, προαγορεύεις ξένα καὶ φρικτά, καὶ τοῦ Πνεύματος ἔκχυσιν, προδιαγράφεις ἔνδοξε, τοῖς ὁμοφύλοις σου πανόβλιε.

Ὑφέρπων ἐν τῷ βυθῷ πταισμάτων μου, καὶ σκοτιζόμενος ὑπὸ πολλῶν παθῶν μου ὀχληρῶν, τῆς γλυκείας ἐλλάμψεως, τοῦ Παρακλήτου ἔμπλησον, Σῶτερ με λιταῖς τοῦ προφήτου σου.

Θεοτοκίον.

Μαρία τῶν γηγενῶν τὸ καύχημα, ἀγγέλων σέμνωμα, καὶ ἡ φωτὸς πηγὴ τοῦ ἀληθοῦς, τῶν παθῶν τὴν σκοτόμαιναν, καὶ πονηροῦ τὴν ζόφωσιν, Μῆτερ ταῖς λιταῖς σου διάλυσον.

Ὠδὴ γ΄.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ »μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Νυγείσης μου τῆς ψυχῆς, ὑπὸ ἀλόγων ἐννοιῶν πάντιμε, ταῖς σαῖς εὐχαῖς πρόφθασον, τάχει θεραπεῦσαι τά τραύματα.

www.tezaurliturgic.ro



Ἐμβάλλεις οἷα τὸ πῦρ, πόθον Χριστὲ θεοφιλοῦς ἔρωτος, εἰς τὰς ψυχὰς πάνσοφε, ὡς ὁ Ἰωὴλ προεμήνυσε.

Ἰσχύει τῇ θεϊκῇ, ἐγκυλινδούμενον λαὸν ἄνομον, τοῖς ρυπαροῖς πάθεσιν, ἤγαγες σοφὲ εἰς μετάνοιαν.

Θεοτοκίον.

Ἰάτειρα τῶν βροτῶν, καὶ αὐχμηρίας ψυχικῆς ἄνεσιν, Παρθενομῆτορ Πανάμωμε, πάντες οἱ πιστοὶ σὲ γινώσκομεν.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστοῦ ἐπελεύσεως, τῆς φοβερᾶς Ἰωήλ, Δευτέρας τὴν πρόγνωσιν, παρανομοῦντι λαῷ, ἐδήλωσας πάντιμε· αἷμα γὰρ καὶ ἀτμίδα, τοῦ καπνοῦ προφητεύσας, ὤφθης ἐξ ἁμαρτίας, ὁδηγῶν πρὸς τὴν κρείττω, ὁδὸν τῆς μετανοίας, αὐτὸν ἀξιάγαστε.

Θεοτοκίον. Ὅμοιον.

Τὸν κόσμον πανάμωμε, ὁ φιλοικτίρμων ἡμῶν, Θεὸς ἐξηγόρασεν ἐκ τῶν δεσμῶν ἀληθῶς, λαβὼν τὴν μερόπειον, σάρκα καὶ τοῦ θανάτου, τὴν ἰσχὺν ἀφανίσας, ἔλυσε τοῦ ἀρχαίου πτερνιστοῦ βασιλείαν, καὶ πάντας τοὺς ἐν Ἅδῃ, Μαρία ἐξήγαγε.

Ὠδὴ δ΄.

Δι᾽ ἀγάπησιν Οἰκτίρμον τῆς σῆς εἰκόνος, ἐπὶ Σταυροῦ σου »ἔστης, καὶ ἐτάκησαν ἔθνη· σὺ γὰρ εἶ φιλάνθρωπε, ἰσχύς μου καὶ »ὕμνησις.

Ὡραιώθης Ἰωὴλ ἐν Παραδείσῳ, ἀμφιασθεὶς τὴν αἴγλην, τῶν ἁγίων ἀγγέλων· σὺ γὰρ εἶ πανάριστον, δοχεῖον τοῦ Πνεύματος.

Η φωνὴ τῶν προφητῶν ἡ εὐτονωτάτη, ἐκ τῆς Σιὼν ἐκπέμπει, λιγυρόφθογγον ᾆσμα, ὅτι ἥξει τάχιστα, Χριστὸς ὁ Σωτὴρ ἡμῶν.

www.tezaurliturgic.ro



Λαμπρυνθεὶς τῷ ἀπροσίτῳ φωτὶ παμμάκαρ, τοῦ αἰωνίου σκότους, ταῖς ὀξείαις πρεσβείαις ἀπάλλαξον, ψυχήν μου τὴν τάλαιναν.

Θεοτοκίον.

Θεοτόκε ἀληθῶς τῶν ἁμαρτανόντων, ἐγγυητὴς ἡ θεία, ἀνεδείχθης καὶ σκέπη, δυσωποῦσα Πάναγνε, Υἱόν σου καὶ Κύριον.

Ὠδὴ ε΄.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέ»φον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ἀπόστολοι σοφοί, ἁλιεῖς ἐπεγνώσθησαν, τῇ χάριτι Παρακλήτου, Ἰωὴλ θεοφόρε, ὡς πάλαι προεκήρυξας.

Ὑψόθεν ἐλλαμφθείς, ἐνεργείαις τοῦ Πνεύματος, τὰ μέλλοντα τῆς Δευτέρας, Παρουσίας συμβαίνειν, ἀξίως προετύπωσας.

Ματαίων λογισμῶν, τὸν ἐσμὸν διασκέδασον, καὶ δάκρυα μετανοίας, Ἰωὴλ ταῖς λιταῖς σου, παράσχου μοι πανεύφημε.

Θεοτοκίον.

Ἀνάσπασον ταχύ, ἁμαρτίας ζιζάνια, καὶ ἄρουραν τῶν παθῶν μου, Παναγία Παρθένε, εὐχαῖς καὶ δυσωπείαις σου.

Ὠδὴ ς΄

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ »δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον. ἐκ τῆς πλευρᾶς »σου ῥεύσαντι αἵματι.

Σκώληξ ὡς, ἰλυσπᾶτο λαὸς ὁ παράνομος, εἰς τὸν βυθὸν τῶν εἰδώλων, ἀθετήσας πάλιν τὰ γεγραμμένα· ὅθεν τοῦτον εἰς ὁδὸν μετανοίας ἐκάλεσας.

www.tezaurliturgic.ro



Τέρατα, καὶ σημεῖα προφῆτα παράδοξα, αἷμα καὶ πῦρ καὶ ἀτμίδα, καὶ ἡλίου σβέσιν προεπηγγείλω· διὸ πάντας, Ἰωὴλ ταῖς λιταῖς σου διάσωσον.

Ὄντως νῦν, τοῦ φωτὸς τοῦ ἁγίου ἐστέρημαι, καὶ ἀγαπήσεως θείας, τὴν λαμπάδα ἔχων ἄνευ ἐλαίου, ἱκετεύων, Ἰωὴλ ταῖς εὐχαῖς σου βοήθει μοι.

Θεοτοκίον.

Νέκρωσον, τοῦ θυμοῦ τῆς ψυχῆς τὰ κινήματα, Παρθενομῆτορ Μαρία, καὶ καρδίαν ἔκπλυνον τὴν ρυπῶσαν, τῶν σῶν δούλων, ὡς παρρησίαν ἔχουσα Πάναγνε.

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἀηδὼν εὐκέλαδος ἀναδειχθεὶς τοῦ Κυρίου, τὴν μολπὴν τῆς χάριτος, τὴν λιγυρὰν ἐμελῴδεις, δῆμον τε σεμνοπρεπῶς πρός τὰ ἄνω, μάκαρ ἅπαντα ἐποδηγέτεις μαρμαρυγαῖς σου, Ἰωὴλ ὡς αἰγληφόρος, ἀστὴρ θεόφρον καὶ φῶς ἀνέσπερον.

Ὁ Οἶκος.

Ἐλλαμφθεὶς πανάριστε τοῦ Ἁγίου Πνεύματος ταῖς σωστικαῖς ἐνεργείαις, τὰ πόρρω ὡς ἐνεστῶτα προηγόρευσας θαυμαστῶς. Τοῦ Παρακλήτου τὴν ἔλευσιν καὶ τοῦ Χριστοῦ τὴν Δευτέραν ἐπέλευσιν πανσεβάσμιε προεώρακας, εἶτα δὲ καὶ τοῦ ἡλίου τὴν σβέσιν καὶ τῶν ἀστέρων τὴν ἔκπτωσιν καὶ τὰ μέλλοντα μετά κρότου συμβαίνειν προετύπωσας ὡς στόμα Κυρίου τὸ ἅγιον. Διὸ καὶ νῦν καταυγάζεις τούς πιστούς, Ἰωὴλ ὡς αἰγληφόρος ἀστὴρ θεόφρον, καὶ φῶς ἀνέσπερον.

Καὶ ἀναγινώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΘ΄ Ὀκτωβρίου. Εἶτα λέγομεν·

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου ἐνδόξου Προφήτου Ἰωήλ.

www.tezaurliturgic.ro



## Στίχοι.

Ἰωὴλ στερρόφρων τοῦ Θεοῦ προφήτης
ἀνεδείχθης πρόπαλαι λαβὼν τὴν χάριν.

Οὗτος ὁ προφήτης ἦτο ἐκ τῆς φυλῆς τοῦ Ρουβίμ, ἐκ τοῦ ἀγροῦ τοῦ καλουμένου Μεθομορρῶν. Ἑρμηνεύεται δὲ Ἰωὴλ, κατὰ μὲν τὸν παλαιὸν συναξαριστὴν, ἀγάπη Κυρίου, ἢ ἀρχή, ἢ ἀπαρχὴ Θεοῦ, κατὰ δὲ τὸν νεώτερον ἑρμηνευτὴν, ὁ Γιαχβὲ εἶναι ὁ Θεός. Ἀπορίας ἄξιον εἶναι ὁ ἀκριβὴς χρόνος τῆς δράσεως τοῦ ἐνδόξου τούτου προφήτου. Ἄλλοι τόν τοποθετοῦν ἐπὶ τῆς βασιλείας τοῦ Ἰωὰς 836-797 π.Χ. καὶ ἄλλοι μετὰ τὴν βαβυλώνειον αἰχμαλωσίαν.

Εἰς δύο μέρη χωρίζεται ἡ θεόγραφος βίβλος αὐτοῦ. Εἰς μὲν τὸ πρῶτον περιγράφει ὁ Προφήτης τὴν φοβερὰν μάστιγα τῆς ἀκρίδος καὶ παρακινεῖ λαὸν καὶ Ἱερεῖς εἰς μετάνοιαν. «Πενθεῖτε, οἱ Ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ Κυρίου» (κεφ. 1, 9). «Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε πρεσβυτέρους πάντας κατοικοῦντας γῆν εἰς οἶκον Θεοῦ ὑμῶν καὶ κεκράξετε πρὸς Κύριον ἐκτενῶς» (κεφ. 1, 14). Τῆς γῆς, λοιπόν, ἐκτραγωδήσας πάθη, ἤγαγε τὸν λαὸν εἰς μετάνοιαν καὶ οὕτω παύει ἡ ὀργὴ τοῦ Κυρίου. Εἰς δὲ τὸ δεύτερον καὶ σπουδαιότερον μέρος εὐαγγελίζεται πάσης σάλπιγγος εὐηχότερον τὴν Ἔνσαρκον ἔλευσιν τοῦ Θεοῦ Λόγου, καὶ τὴν κάθοδον τοῦ Ἁγίου Πνεύματος ἐπαγγέλλεται. «Καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται»(κεφ. 3, 1). Ἐπίσης ἀναγγέλλει τὸ σωτήριον πάθος καὶ τὴν Δευτέραν Παρουσίαν τοῦ Σωτῆρος. «Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ» (κεφ. 3,4).

Καὶ ταῦτα προφητεύσας, ἀπέθανε καὶ ἐτάφη εἰς τὴν ἰδικήν του γῆν μετὰ τῶν πατέρων αὐτοῦ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro



'Ωδὴ ζ'.

Ἐν τῇ καμίνῳ, 'Αβραμιαῖοι Παῖδες τῇ Περσικῇ, πόθῳ εὐσε»βείας μᾶλλον ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογη»μένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Πάλιν ἐκλάμπει, τοῦ Παρακλήτου ἡ ἐνέργεια, πλήθη τῶν πιστῶν, φωτίζουσα νοερῶς, καὶ παρέχουσα χαρίσματα, καθὼς προείρηκας, ἱεροπρεπῶς Προφῆτα μακάριε.

Ρύαξ ὡς μέλι καὶ οἱ βουνοὶ ἀποστάξουσι, γάλα δὲ τά ὄρη ρεύσουσιν 'Ιωήλ, τοῦ Σωτῆρος ἐπιφαίνοντος, ὡς προεσήμηνας, ὑπερκοσμίοις μάκαρ διδάγμασι.

Ο ἐν ἁγίοις θεοπρεπῶς ἀναπαυόμενος, δήμου τῶν ἀγγέλων πάντιμε 'Ιωὴλ, συμπολίτην σὲ ἀνέδειξεν, εἰς ὅν πρεσβείαις σου, πάντας ἡμᾶς, ταχὺ συνανέλκυσον.

Θεοτοκίον.

Φεῖσαι τῶν δούλων, τῶν σῶν Παρθένε παναμώμητε, στόνων ἀδοκήτων λύουσα τάς πλοκάς, καὶ παντοίων περιστάσεων, τῇ μεσιτείᾳ σου, τάς ἀλγηδόνας Μῆτερ ἀπέλασον.

'Ωδὴ η'.

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔ»φραξε· πυρός δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐ»σεβείας ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ »ἔργα Κυρίου τὸν Κύριον.

Ηχθης πρός τό ἄκρως ὀρεκτόν, ὑπὸ τῆς χάριτος, ἰδὼν τὴν ἔκχυσιν, τοῦ Παρακλήτου πανόλβιε, 'Ιωὴλ τὴν ὑπερκόσμιον, καὶ ἐλλαμφθεὶς θεοπρεπῶς, τοῖς πᾶσιν ἔκραξας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

www.tezaurliturgic.ro



Τέμενος σοφίας τὸ σεμνόν, λαμπρὸν κειμήλιον,καὶ τὸ θεσπέσιον τῆς ἀρετῆς ἐνδιαίτημα, τῇ δυνάμει τοῦ Κυρίου σου, ἀναδειχθεὶς ὡς εὐσθενής, ἀνὴρ ἐκραύγαζες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Η βάσις βροτῶν ἡ ἀρραγής, καὶ τὸ προπύργιον, γενοῦ πανάριστε, τὸ ἀποκροῦον τὰ τάγματα, τοῦ πονηροῦ τὰ δυσήττητα, τὰ ἐπελθόντα καθ' ἡμῶν, ἵνα βοήσωμεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

### Θεοτοκίον.

Νῦν οἱ γηγενεῖς καινοπρεπῶς, ὑπὸ τοῦ τόκου σου, Ἁγνὴ ἀρδεύονται, τῶν δωρημάτων τοῖς νάμασιν, ὡς οἱ προφῆται κατήγγειλαν· διὸ φωνοῦσι παγγενῶς, ᾆσμα χαρμόσυνον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

### Ὠδὴ θ΄.

Λίθος ἀχειρότμητος ὄρους ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογω»νιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις· διὸ ἐπα»γαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἴαμα ἐδείχθης καὶ προστάτης, τῶν ἀλγουμένων καὶ στενόντων· ὅθεν ἐκβοῶ σοι προφῆτα, ταῖς σαῖς πρεσβείαις, ἐκ τῶν δεσμῶν ταχέως, τῶν ἡδονῶν ἀπάλλαξον, ὦ Ἰωὴλ θεοφορούμενε.

Ὡς παρεστηκὼς εἰς τὸν θρόνον, μὴ διαλίπῃς ἱκετεύων, πάντοτε Χριστὸν ὑπὲρ πάντων, ἡμῶν τῶν ὄντων ὑπὸ ζυγὸν κακίας, καὶ ἐκζητούντων ἅγιε, τὴν σὴν βοήθειαν θεόληπτε.

Ἥξει ἡ ἡμέρα Κυρίου, μετὰ σημείων καὶ τεράτων, ὡς ὁ Ἰωὴλ ὁ ἐχέφρων, πανσόφως ἔφη, παιδαγωγῶν ἁμαρτόντας· διὸ πολλοὺς ἀνέσπασε, ἐκ τῶν χειρῶν τοῦ κοσμοκράτορος.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Λάμψον τὴν σκοτόμαιναν τάχει, ἀμπλακημάτων ψυχολέθρων, Κόρη τῶν πιστῶν ὑμνητῶν σου, φαιδραῖς ἀκτῖσι τῶν πρεσβειῶν σου Μῆτερ· ὅτι Χριστὸν τὸν ἥλιον εἰς τὴν κοιλίαν σου ἐβάστασας.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Η μνήμη-σου ἡ φωσφόρος, ἡ καταυγάζουσα τὸν νοῦν, κινεῖ ἡμῶν νῦν τὰς γλώσσας, τῶν Ὀρθοδόξων Ἰωήλ, τὴν βιοτήν σου ὑμνῆσαι, ἀξιοχρέως θεόφρον.

Ἕτερον. Ὅμοιον.

Πάρεσο μάκαρ ἐν μέσῳ, τῶν ἐκτελούντων Ἰωήλ, τὴν σὴν ἐπέτειον ὕμνοις, καὶ ἐν ᾠδαῖς πνευματικαῖς, καὶ ταῖς πρεσβείαις σου πάντας, ἐκ τῶν δεινῶν ἡμᾶς ῥῦσαι.

Θεοτοκίον. Ὅμοιον.

Τεταραγμένων γαλήνη, χειμαζομένων ὁ λιμήν, τῆς ἀντιλήψεως πύργος, ὁ ἀσφαλὴς καὶ κραταιός, ἀπεγνωσμένων πρεσβεία, ἐφάνης ἄσπιλε Μῆτερ.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια.

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Ἐγὼ εἰμὶ ἐν τῷ μέσῳ, τοῦ Ἰσραὴλ ἀληθῶς, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι, ἐπιγνώσεσθε πάντες, Θεός τε καὶ Δεσπότης σοφῶς Ἰωήλ, διὰ σοῦ ἐπετάξατο, παρανομήσαντι πάλαι λαῷ δεινῶς, Σαββαὼθ ὁ παντευλόγητος.

Προγνωστικῶς διαγράφεις, ἐπιδημίαν σοφέ, τοῦ ἐν πνοῇ βιαίᾳ, καταβάντος ἀρρήτως, ποτὲ εἰς Ὑπερῷον, πυρὸς Ἰωήλ, τῆς Τρισηλίου Θεότητος· διὸ τιμῶμέν σε πάντες χρεωστικῶς, ἀνυμνοῦντες τὸ σὸν ὄνομα.

www.tezaurliturgic.ro



Συγκαταρίθμησον τάχει, ἐν τοῖς χοροῖς ἐκλεκτῶν, τοὺς εὐφημοῦντας μάκαρ, τὴν σὴν μνήμην τὴν θείαν, φωνοῦντάς σοι προφῆτα Χριστοῦ Ἰωήλ, ταῖς σαῖς πρεσβείαις διάσωσον, ἐξ ἀναγκῶν καὶ κινδύνων τῶν χαλεπῶν, καὶ μανίας τοῦ ἀλάστορος.

Ὡς ἀξιέπαινος φόρμιγξ, τοῦ παλαιοῦ Ἰσραήλ, καὶ λιγυρὰ κινύρα τῆς Καινῆς Διαθήκης, σαλπίζεις ἡδυμόλπως ἡμῖν Ἰωήλ, τοῦ Παρακλήτου τὴν ἔκχυσιν· ὅτι πολλοὶ ἐπ' ἐσχάτων τῶν γηγενῶν πληρωθήσονται τῆς χάριτος.

Δόξα. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν τῷ πνεύματι, καὶ ἑορτίως πανηγυρίσωμεν, ἐν τῇ εὐσήμῳ μνήμῃ τοῦ ἐνδόξου προφήτου Ἰωήλ. Ἱερεῖς καὶ ἄρχοντες συνελθέτωσαν καὶ τῶν ἐγκωμίων τὴν λύραν κατὰ χρέος ἁρμοσάτωσαν ὡς ἄγγελοι, τὸν ῥητῆρα τὸν θεῖον γεραίροντες. Ποιμένες καὶ διδάσκαλοι, τῆς Ἐκκλησίας σελαγίζοντα ἀστέρα, συνδραμόντες εὐφημήσωμεν. Παρρησίας τὸν θησαυρὸν, μετανοίας τὸ στόμα, τὴν τοῦ Παρακλήτου κιθάραν, τὸ κλέϊσμα τῶν πιστῶν, τὸ κειμήλιον τῆς ἀληθοῦς σοφίας, τὸν διαλάμποντα φωστῆρα, θεολογίας λαμπρὸν δοχεῖον, τὸν στύλον τῆς εὐσεβείας τόν φωτοφόρον, ἔνθεον ὑποφήτην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Ὦ ἄνερ πανεύφημε, ἐμφύτευσον τόν φόβον Θεοῦ, εἰς τῶν πιστῶν τάς καρδίας, καὶ πάντας περιφρούρησον ταῖς πρεσβείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ ς΄ Ὠδή.
Ἀπόστολος τῆς Τρίτης τῆς Διακαινησίμου.
Εὐαγγέλιον τῆς Τετάρτης τῆς ΙΑ΄ ἑβδομάδος τοῦ Ματθαίου.

Κοινωνικόν.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

Μεγαλυνάριον.

Χαίροις ἐγκαλλώπισμα προφητῶν, καὶ τοῦ Παρακλήτου ὁ προάγγελος Ἰωὴλ, χαίροις μυστηρίων, Δευτέρας Παρουσίας, ὁ μέγας θεοφάντωρ καὶ γνώστης ἄριστος.

www.tezaurliturgic.ro

